eul_wid: skw-am

*Ἐρωτικὰ Ἀδέσποτα* · Erotic Narrative Anonymous

# Calligone

*Καλλιγόνη*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινή* Koine
**Domain:** *Μυθιστορία* Fiction
**Format:** *Πεζός* Prose

[40] παντελῶς τὴν γνώμην διασεσεισμένη. ἐλθοῦσα δὴ ἐπὶ σκηνὴν καὶ ῥίψασα ἑαυτὴν ἐπὶ τῆς στιβάδος ἀνωλόλυξεν μέγα καὶ διωλύγιον, καὶ δάκρυα ἐξέρ[ρ]εον ἀθρόα· κατερρήξατό τε τὸν χιτῶνα. ἐπεμελεῖτο δὲ ὁ Εὐβίοτος μηδένα παρεῖναι ἐν τῇ σκηνῇ, ἀλλ' ἐξήλαυνεν ἅπαντας ὡς ἄν τινων δυσχερῶν αὐτῇ περὶ Σαυροματῶν ἠγγελμένων. ἡ δὲ ἀνωλοφύρετο καὶ ἐκώκυεν καὶ ἐλοιδορεῖτο μὲν ἐκείνῃ τῆι ἡμέρηι, ἐν ᾗ τὸν Ἐρασεῖνον εἶδεν ἐν τῆι θήρᾳ, ἐλοιδορεῖτο δὲ καὶ αὐτὴ τοῖς αὑτῆς ὀφθαλμοῖς· ἐ[μ]έμφετο δὲ [κ]αὶ τὴν [Ἄρ]τεμιν . [ .. ] . με [ . ] . [ ............... ]α [ ................. ]υ [ ................ ]ιρ[ . ] [ .. ] . καὶ ἐν τοιαύτ[αι]ς ξ[υμ-] [φο]ραῖς στρεφομένη ἵει [τὴ]ν χεῖρα ἐπὶ τὸ ἐγχειρίδιον· ἐτύγχανεν δὲ αὐτὸ [ὁ] Εὐβίοτος ε[ὐθ]ὺ κατὰ τὴν [ἔφ]οδον σπασάμενος ἐκ [το]ῦ κολεοῦ καὶ λαθών· ἡ δὲ [ἐπ]ιβλέψασα πρὸς αὐτὸν [λέ]γει· "ὦ πάντων ἀνθρώ[π]ων κάκιστε, ὃς ἔτλης [ἅ]ψα[σθ]αι τοῦ ἐμοῦ ξίφους· εἰμὶ [μ]ὲν γὰρ οὐκ Ἀμαζὼν οὐ[δὲ] Θεμιστώ, ἀλλ' Ἑλληνὶς [καὶ] Καλλιγόνη, οὐδεμιᾶς [δὲ] Ἀμαζόνων τὸν θυμὸν [ἀσ]θενεστέρα. ἴθι μοι τὸ ξί[φο]ς κόμιζε, μὴ [κ]αὶ σὲ ταῖς [χε]ρσὶν ἄγχους' ἀποκτει- [40]

Eulogikon public reading copy · View original HTML at eulogikon.org